# 17 FEBRUARIE

# SLUJBA SF.MUCENIC MIHAIL DE LA ADRIANOPOL

## MINEIUL-GR

www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΙΑ ΠΟΙΗΘΕΙΣΑ ΥΠΟ ΙΩΑΝΝΟΥ ΜΟΣΧΟΥ

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

*Μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Μακάριος ἀνήρ, είς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια δευτεροῦντες αὐτά. Ἦχος α΄. Πανεύφημοι μάρτυρες.*

Τὸ σῶμα τὸ γήϊνον πυρί· τεφρωθῆναι δέδωκας· ἐθελουσίως πανεύφημε· ὅθεν ἐτέφρωσας· καὶ ἀσθενεστάτην· παντελῶς ἀπέδειξας· τοῦ πλάνου καὶ δολίου τὴν δύναμιν· διὸ ἱκέτευε· δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν· τήν είρήνην καὶ τὸ μέγα ἔλεος.

Βαρβάρων τὸ φρύαγμα τῇ σῇ· καρτερίᾳ ἔνδοξε · καταβαλῶν ὥσπερ ἄριστος· καὶ γενναιότατος· ἀθλητὴς καὶ τούτους· ξένως νῦν κατῄσχυνας· τῷ πόθῳ τοῦ Χριστοῦ πυρπολούμενος· ὃν καθικέτευε· δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν· τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἐξέλαμψας ὄντως ἐν τοῖς νῦν· χρόνοις, ἀξιάγαστε, · μαρτυρικοῖς ὡραΐσμασιν· ἀγλαϊζόμενος· τῷ γὰρ θείῳ σθένει· σαφῶς δυναμούμενος· τὸ θράσος τῶν τυράννων ούκ ἔπτηξας· ἀλλ᾽ ὡμολόγησας· τὸν

Χριστὸν Θεὸν καὶ Κύριον· καὶ δεσπότην μόνον πάσης κτίσεως.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν ἁγίων Μαρτύρων· τὸ σταθηρὸν φρόνημα ἀναλαβών· καὶ τοῖς τοῦ πνεύματος ὅπλοις· σεαυτὸν περιφραξάμενος· ἐν τῷ σταδίῳ ἀγωνιζόμενος· ούκ ἐπτοήθης τὰς ἀπειλουμένας σοὶ βασάνους· ἀλλὰ παῤῥησία ἐβόας· ούδέν με τοῦ ἔρωτος τοῦ Χριστοῦ μου χωρίσει· διὸ τοῦ μακαρίου τέλους τυχών· σὺν ἐκείνοις αἰωνίως ἀγάλλη· Μιχαὴλ ἀθλητὰ ἀξιοθαύμαστε.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός. (Ἐκ τῆς Ὀκτωήχου).

Ὁ βασιλεὺς τῶν ούρανῶν· διὰ φιλανθρωπίαν· ἐπὶ τῆς γῆς ὤφθη· καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς· σάρκα προσλαβόμενος· καὶ ἐκ ταύτης προελθών· μετὰ τῆς προσλήψεως , · είς ἐστιν Υἱός · διπλοῦς τὴν φύσιν · ἀλλ' ού τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν· καὶ τέλειον ἄνθρωπον· ἀληθῶς κηρύττοντες · ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε, Μῆτερ ἀνύμφευτε , · ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

*Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς

ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 4, 7-15)*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἰδιόμελα, ποιήματα Νικολάου ἱερέως τοῦ Μαλαξοῦ, πρωτοπαππὰ Ναυπλίου.*

*Ἦχος α΄.*

Ὁ τοῦ Χριστοῦ νεοφανής· ἀθλητής τε καὶ Μάρτυς· Μιχαὴλ ὁ ἀγγελώνυμος· συγκαλεῖται σήμερον ἡμᾶς· πρὸς ἑστίασιν πνευματικήν· τῶν ἀθλητικῶν ἀγώνων αὐτοῦ.· Δεῦτε πάντες αὐτὸν εὐφημήσωμεν · ὡς τῆς ὀρθῆς πίστεως ὑπέρμαχον· καὶ τῆς πλάνης ἀντίπαλον · ὡς τὴν καλὴν ὁμολογίαν ἐνώπιον τυράννων · ἀπτοήτως ὁμολογήσαντα· καὶ μέχρις αἵματος · ὑπὲρ Χριστοῦ ἀγωνισάμενον· καὶ πρεσβεύοντα τοῦ σωθῆναι ἡμᾶς.

*Ἦχος β΄*

Οὔτε πόθος συζύγου · οὔτε τῶν τέκνων στοργή · οὐ τυράννων ἀπειλαὶ · οὔτε δόξα πρόσκαιρος· οὔτε ζωή, οὔτε θάνατος · χωρίσαι σὲ ἴσχυσε· τῆς ἀγάπης τοῦ Χριστοῦ · Μιχαὴλ ἀξιάγαστε · ἀλλ᾽ ἐβόας λαμπρῶς μετὰ Παύλου · οὐδὲν με τῆς ἀγάπης χωρίσει ποτέ.· Ὅθεν τὸν δι᾽ αὐτὸν θάνατον· πρὸς αὐτὸν εὑρῶν διαβατήριον · συνευφραίνει ἀεὶ· τοῖς τῶν Μαρτύρων χοροῖς · ἐν ταῖς τῶν δικαίων σκηναῖς· καὶ πρεσβεύεις ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος πλ. β΄*

Ἑορτὴ χαρμόσυνος· ἐφέστηκε σήμερον ἡμῖν, · νεοφανοῦς ἀστέρος· Μιχαὴλ τοῦ θείου μάρτυρος· εὐφραίνουσα τὰς καρδίας τῶν πιστῶν · τοῦ βοῆσαι πρὸς αὐτόν· Χαίροις ὁ ἀναλάμψας ἐν αἰῶσιν ἐσχάτοις · ταῖς τοῦ μαρτυρίου φαιδρότησι· καὶ στηρίξας τῶν

εὐσεβῶν τὰς διανοίας.· Χαίροις ὁ τὸν δόλιον ἐχθρόν· καὶ τοὺς αὐτοῦ συνασπιστάς· κραταιῶς τροπωσάμενος.· Χαίροις ὁ τὸν θεάνθρωπον Χριστόν· ἐν μέσῳ τοῦ σταδίου· τρανῶς ἀνακηρύξας· καὶ τὴν ψυχὴν προθύμως· ὑπὲρ αὐτοῦ προθέμενος.· Παῤῥησίαν οὖν εὑράμενος · πρὸς αὐτὸν ἱκέτευε· ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄ (Ποίημα τοῦ αὐτοῦ).*

Τὸν ἐν μάρτυσι τοῦ Χριστοῦ· θεοστεφῆ νέον ὁπλίτην· Μιχαὴλ τὸν ἀοίδιμον · ἐν ὕμνοις καὶ ᾠδαῖς· ἀνευφημήσωμεν πιστοί.· Οὗτος γάρ· τὴν πνευματικὴν πανοπλίαν· γενναίως ἀναλαβών· πρὸς τὴν πάλην ἐχώρησε τοῦ παλαμναίου· καὶ ἀνὰ κράτος τοῦτον νικήσας · στεφανηφόρος ἀθλητής· τῆς ἀληθείας ἐδείχθη· καὶ παῤῥησία πρεσβεύει· ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός. (Ἐκ τῆς Ὀκτωήχου).*

Ἐγὼ Παρθένε· ἁγία Θεοτόκε · τῇ σκέπῃ σου προστρέχω · οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας · δύνασαι γάρ· ἁγνὴ βοηθῆσαί μοι.

*Εἰς τὸν Στίχον, στιχηρὰ προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.*

Πάντες σε οἱ πιστοί· γεραίρομεν ἀξίως· καὶ εὐφημίαις πάσαις· ὡς Μάρτυρα Κυρίου· κατακοσμοῦμεν ἔνδοξε.

Στίχ: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...*

Χορὸς ἀγγελικός· δῆμός τε τῶν Μαρτύρων· καὶ τῶν πιστῶν τὸ πλῆθος· εὐφράνθη τῇ καλῇ σου· ὁμολογία πάντιμε.

Στίχ: *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...*

Ἤσχυνας, Μιχαήλ,· ἀπογόνους τῆς Ἄγαρ· ἐν τῇ θερμῇ σου πίστει· βοῶν ἐν παῤῥησίᾳ · Χριστὸς Θεός μου Κύριος.

*Δόξα...*

Δόξα σοι, βασιλεῦ· Χριστὲ Σωτήρ, ἔβοας · σύ μου ὑπάρχεις ὄντως· ἡ πίστις καὶ ὁ ἔρως· ἐχθροὶ τοῦ θράσους παύσασθε.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε ἡ πρὸς Θεόν· μεσῖτις καὶ προστάτις· καὶ ἐλπὶς ἡ βεβαία· Χριστιανῶν σῶν δούλων,· Παρθενομῆτορ ἄχραντε.

*Εἴ βούλει, ψαλλὲ ἀντὶ τῶν ἀνωτέρω τροπαρίων, τὰ κάτωθι προσόμοια, μετὰ τοῦ δοξαστικοῦ καὶ τοῦ θεοτοκίου αὐτῶν. (Ποιήματα Νικηφόρου ἱερομόναχου τοῦ Χίου). Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Δεῦτε συμφώνως ἐν ὕμνοις· πιστοὶ δοξάσωμεν· τὴν σεβασμίαν μνήμην· τοῦ λαμπροῦ ἀθλοφόρου· τοῦ πόθῳ διαπύρῳ πρὸς τὸν Χριστόν· ἀνδρικῶς ἐναθλήσαντος· καὶ γὰρ πρεσβεύει Κυρίῳ διὰ παντός· τοῦ σωθῆναι τοὺς τιμῶντας αὐτόν.

Χαίρει πληθὺς τῶν ἀγγέλων· καὶ ἀθλητῶν οἱ χοροί· ἐπὶ τῇ θείᾳ μνήμῃ· τῇ σῇ Μάρτυς θεόφρον· ἀθλήσας γὰρ γενναίως ὡς ἀληθῶς· τοὺς τυράννους

κατῄσχυνας· καὶ τὸ πανύμνητον Ὄνομα τοῦ Χριστοῦ· καὶ τὴν πίστιν ὑπερύψωσας.

Καὶ οἱ ποθοῦντές σε πάντες· χαίρομεν πνεύματι· ἐν τῇ σῇ θείᾳ μνήμῃ· ἀθλοφόρε Κυρίου· ἐν πίστει ἀνυμνοῦντες τὰ σὰ λαμπρά· κατ᾽ ἐχθρῶν ἀγωνίσματα· καὶ ἃ δυνάμει τοῦ Πνεύματος ἀνδρικῶς· νοητὰ ἤγειρας τρόπαια.

*Δόξα. Ἦχος β´.*

Πεποιθὼς ἐπὶ τῇ ἀηττήτῳ· δυνάμει τοῦ Σταυροῦ· ἀνδρειοφρόνως ἔστης· πρὸ τῶν ἀνόμων δικαστῶν, · καὶ τὸν Χριστὸν Θεὸν εἶναι· τοῦ σύμπαντος ἀνακηρύξας· βασάνους ἤνεγκας · καὶ τέθνηκας χαίρων τῷ πνεύματι· δι᾽ ὅ παῤῥησίαν ἔχων· πρὸς ὃν ἐπόθησας · πρέσβευε ὑπὲρ ἡμῶν· ἀθλητὰ ἀήττητε.

*Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός. (Ἐκ τῆς Ὀκτωήχου).*

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου · τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος· οὐκ ἐκαίετο καταφλεγομένη · οὕτω Παρθένος ἔτεκες · καὶ Παρθένος ἔμεινας · ἀντὶ στύλου πυρὸς · δικαιοσύνης ἀνέτειλεν ἥλιος, · ἀντὶ Μωϋσέως Χριστὸς · ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Ἀπολυτίκιον. (Ποίημα Ἰουστίνου Δεκαδίου). Ἦχος δ´. Ταχὺ προκατάλαβε.*

Ὁ Μάρτυς ὁ ἔνδοξος, ἐν τῷ σταδίῳ ἑστώς, ἐβόα· Οὐ παύομαι, κηρύττων ἕνα Θεόν, Τριάδα τὴν ἄκτιστον, ταύτῃ γὰρ ἐμβιώσας, ἐν αὐτῇ καὶ θανοῦμαι, ταύτης νῦν κραταιοῦμαι, ἀσεβεῖς τῇ ἰσχύϊ, διὸ οὐδόλως αὐτῇ, λατρεύειν ἀρνήσομαι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός. (Ἐκ τῆς Ὀκτωήχου).*

Τὸ ἀπ’ αἰῶνος ἀπόκρυφον, · καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον · διά σου Θεοτόκε, · τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος· καὶ Σταυρὸν ἑκουσίως· ὑπὲρ ἡμῶν καταδεξάμενος· δι’ οὗ ἀναστήσας τὸν πρωτόπλαστον · ἔσωσεν ἐκ θανάτου· τὰς ψυχὰς ἡμῶν.

*Καὶ Ἀπόλυσις.*

## ΕΝ ΤΩ ΟΡΘΡΩ

*Μετὰ τὴν α´ Στιχολογίαν. Κάθισμα. (Ποίημα Ἰουστίνου Δεκαδίου). Ἦχος γ´. Θείας πίστεως.*

Ἕνα Κύριον· ἀνυποστόλως· ἀνεκήρυττες· μέσον ἀνόμων· Μιχαὴλ Μάρτυς, καὶ τούτους κατῄσχυνας· μεταβαλεῖν μὴ ἰσχύσαντας, ἔνδοξε· ἀμεταθέτου σου γνώμης τὸ εὔτονον· ἀλλ’ ὡς ἀδάμας ἐνέμεινας ἄτρεπτος· ὁμολόγων τὸν Χριστὸν Θεὸν Κύριον· ὅθεν καὶ τέλους μαρτυρικοῦ ἔτυχες.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον. (Ἐκ τῆς Ὀκτωήχου).*

Θαῦμα μέγιστον!· πῶς συνεσχέθη· ὁ ἀχώρητος· ἐν τῇ γαστρί σου· καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος· μὴ ὑπομείνας φυρμὸν ἤ διαίρεσιν· τῆς θεϊκῆς καὶ ἀτρέπτου θεότητος · Κόρη πάναγνε· διὸ Θεοτόκον σε πιστῶς· κηρύττομεν ἀεὶ καὶ δοξάζομεν.

*Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. (Ποίημα Ἀργυρίου Παραλικίδη). Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Οὔτε δόξαι καὶ τιμαί· οὔτε τυράννων ἀπειλαί· τῆς ἀγάπης τοῦ Χριστοῦ · χωρίσαι ἴσχυσάν ποτε · σὲ Μάρτυς ἔνδοξε καὶ γενναιότατε· ἐδείχθης ἀληθῶς· σοφὸς τῷ πνεύματι · κατέῤῥαξας ἐχθροῦ· τὴν ἐπηρμένην ὀφρύν· ὑπογραμμὸς γενόμενος τοῖς πᾶσι· τῆς ἀρετῆς καὶ τῆς πίστεως· καὶ νῦν δυσώπει· τὸν ζωοδότην· ὅπως ἵλεως ἡμῖν γένηται.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον. (Ἐκ τοῦ Μηναίου).*

Τρικυμίαις τῶν παθῶν· ὁ ἀσυνείδητος ἐγώ· χειμαζόμενος, ἁγνή, · ἐπικαλοῦμαι σὲ θερμῶς· Μή με παρίδῃς τὸν δείλαιον ἀπολέσθαι · ἄβυσσον ἐλέους· ἡ τέξασα· πλήν σου γὰρ ἄλλην· ἐλπίδα οὐ κέκτημαι.· Μὴ οὖν ἐχθροῖς ἐπίχαρμα καὶ γέλως· ὁ πεποιθὼς σοι ὀφθήσομαι· καὶ γὰρ ἰσχύεις · ὅσα καὶ βούλει · ὡς Μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Εὐθὺς ὁ Ν ψαλμὸς καὶ οἱ Κανόνες· τῆς Θεοτόκου, ἐκ τῆς Μικρὰς Παρακλήσεως· καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχὶς (ἄνευ τῶν τεσσάρων πρώτων θεοτοκίων): *Τὸν θαυμαστὸν Μιχαὴλ Ἰωάννης γεραίρει».*

*ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Τὸν βίον σου ἅπαντα· καλῶς τῷ τέλει ἐκόσμησας· γενναίως ἀντέστης γάρ · ὑπὲρ Χριστοῦ ἐναθλῶν· τῷ προστάγματι· τῷ τῶν βαρβάρων μάκαρ.· Διὸ στέφος εἴληφας· νίκης ἐπάξιον.

Ὁ ζῆλός σου μέγιστος· πρὸς τὸν δεσπότην, ὃν ἔδειξας· ἐφάνη σαύτὸν γὰρ σύ· γενναίως καὶ εὐθαρσῶς· ἐθελούσιον· θῦμα προσήξας τούτῳ· καὶ σφάγιον ἄμωμον · Μάρτυς ἀοίδιμε.

Νενίκηκας, πάντιμε · ὁλοτελῶς τὸν ἀρχέκακον · τὸν δόλιον δράκοντα· καταπαλαίσας αὐτόν· τὸν πολέμιον· τοῦ τῶν ἀνθρώπων γένους · καὶ τοῦτον κατῄσχυνας· καὶ κατηδάφισας.

Θηρεῦσαί σε ἔσπευσεν· ὁ πονηρὸς καὶ τὸ φρόνημα· δολίως μετέρχεται· τῶν ὀπαδῶν ἑαυτοῦ· καὶ ἀνίστησι· θωπείαις μετατρέψαι · ἀλλ᾽ ἀκαταγώνιστος· ἀθλητὴς ἔμεινας.

*Θεοτοκίον.*

Τὸ χαῖρε σοι, Δέσποινα,· ὁ Γαβριὴλ προσεκόμισε· καὶ Λόγον συνέλαβες· τοῦ προανάρχου πατρός· καὶ ἐκύησας· ἀδιαφθόρως τοῦτον· Θεόν τε καὶ ἄνθρωπον· φανέντα τέλειον.

*ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Ἀπέῤῥιψε πάντα τὰ τοῦ βίου· ὁ Μάρτυς σου χαίρων διὰ σέ· ζωὴν λιπὼν τὴν πρόσκαιρον· καὶ ἐν σταδίῳ ἔκραζε· στερέωσόν με, Κύριε· ἐν τῷ παρόντι ἀγῶνί μου.

Ὑπέστης τὸν θάνατον γενναίως· τῶν γὰρ βαρβάρων τὴν ὀφρύν· καὶ θράσος καὶ τὸ φρύαγμα· οὐδόλως ἐδειλίασας· ὑμνολόγων τρανότατα· τὸν στεφοδότην καὶ Κύριον.

Μεγάλως ὁ δόλιος ὡπλίσθη· σοὶ προσβαλεῖν ἐπιχειρῶν· ὅς κατὰ σοῦ διήγειρε· τὴν τῶν βαρβάρων δύναμιν· ἣν θειοτέρῳ σθένει σου· κατηγωνίσω στεῤῥότατα.

*Θεοτοκίον.*

Τῶν θείων χρησμῶν ἡμεῖς τὸ πέρας· Παρθένε Θεόνυμφε σαφῶς· ὁρῶντές σε κηρύττομεν· Θεοῦ μητέρα πάναγνον· τὴν παρθενίαν ἄφθαρτον· καὶ μετὰ τόκον τηρήσασαν.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ταῖς βαφαῖς τοῦ σοῦ αἵματος· ἀθλητά· ἐξυφήνω χιτῶνα· τὸν νοητῶν · ὃν περιβαλλόμενος , · αἰωνίως ἐκόσμησας· σεαυτὸν ἀθλήσας, · καὶ νῦν εἰσελήλυθας· τῆς ἀφθαρσίας, Μάρτυς· εἰς ἄνω βασίλεια. Ὅθεν εὐφροσύνης· ἀκηράτου μετέσχες, · σὺν πᾶσι τοῖς μάρτυσιν· ἀγαλλόμενος, ἔνδοξε· σὺν αὐτοῖς οὖν ἱκέτευε· Χριστῷ τῷ Θεῷ· τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι· τοῖς ἑορτάζουσι πόθῳ· τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον. (Ἐκ τοῦ Μηναίου).*

Τὴν ψυχήν μου, Παρθένε, τὴν ταπεινήν· τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν· ναῦν ὡς ἀκυβέρνητον· ποντουμένην τῷ κλύδωνι· ἁμαρτιῶν τε φόρτῳ· ὀφθεῖσαν ὑπεράντλον· καὶ εἰς πυθμένα Ἅδου· ἐλθεῖν κινδυνεύουσαν· φθάσον, Θεοτόκε· πρεσβειῶν σου ἐλέει· γαλήνην παρέχουσα· καὶ κινδύνων ἐξαιροῦσα· σὺ λιμὴν γὰρ ἀχείμαστος· πρεσβεύουσα τῷ σῷ Υἱῷ

καὶ Θεῷ· τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα· ὁ ἀνάξιος δοῦλός σου.

*Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.*

Ἅπαντας ἐστήριξεν ὁ ἀθλητής· Δέσποτα, πιστοὺς τοῦ λαοῦ σου· χαρᾶς ἀφάτου· ἐμφορεῖσθαι δεδωκὼς.· Διὸ ὑμνοῦντες κράζομεν· δόξα τῇ δυνάμει σου, Κύριε.
Σώματος ἠφείδησε καὶ τῆς ζωῆς· πλούτου τε καὶ δόξης καὶ σχέσεως· τῆς τῶν οἰκείων· ὡς ποθῶν σε τὴν ζωήν· διὸ προθύμως ἔδραμεν· είς τοῦ μαρτυρίου τὸ στάδιον.
Τάγματα δαιμόνων τὰ πονηρά· καὶ τὸν ἀρχηγὸν τούτων γενναίως· καὶ τοὺς βαρβάρους· τοὺς ἐκείνων ὀπαδούς· καταβαλῶν ἐκραύγαζες· δόξα τῇ δυνάμει σου, Κύριε.

*Θεοτοκίον.*

Ἵλεων ἀπέργασαι μόνη ἁγνή· πᾶσι τοῖς ὑμνοῦσί σε Δέσποινα· τὸν κτίστην πάντων· καὶ Υἱόν σου καὶ Θεόν· τοῖς ἐπταικόσι δούλοις σου· καὶ πταισμάτων κούφισον, ἄχραντε.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Τὸν δρόμον ἐξήνυσας· τοῦ μαρτυρίου ἄριστα· ὅλῃ προθυμίᾳ καὶ ἐφέσει· καθυποδύς· τοῦτον πόθων τὸν Χριστόν· καὶ ἀκαταγώνιστος ὀφθείς· εἴληφας τὸν στέφανον· τὸν ἀκήρατον ἔνδοξε.
Ὁλόφωτον εἴργασαι· τὴν σὴν ψυχὴν ἀοίδιμε· τῷ τοῦ μαρτυρίου φέγγει ταύτην· καταφαιδρύνας· καὶ θείου

φωτός· δεκτικὴν ἀνέδειξας διό· χοροὶ τῶν Μαρτύρων σε· ὑπεδέξαντο χαίροντες.
Νομίμως ἐνήθλησας· τῷ τοῦ Δεσπότου ἔρωτι· τῆς γὰρ ἀναιδείας τῶν βαρβάρων· καὶ τῆς ἀλογίας· καταπεφρόνηκας· καὶ τῶν ἀπειλῶν ὡς ἀληθῶς· καὶ τῶν θωπειῶν αὐτῶν· ὡς συνέσει κοσμούμενος.
Μελέτην ποιούμενος· τοῦ θείου φόβου πάντοτε· νῦν τῆς γενναιότητός σου Μάρτυς· ἔδειξας πᾶσι· τὸ μέγα καὶ εὐσταθὲς· ὑφ’ ὧν πρὸς τὰ σκάμματα ταχὺ· προθύμως ἐχώρησας· καὶ καλῶς ἐξηγώνισαι.

*Θεοτοκίον.*

Τὴν ἄχραντον Δέσποιναν· καὶ μόνην μητροπάρθενον· πάντες σε ὑμνοῦμεν κατὰ χρέος· σὺ γὰρ εἶ· προστασία τοῦ γένους ἡμῶν.· Διό σου δεόμεθα ἁγνή· φύλαττε τὴν ποίμνην σου · ῥυομένη κινδύνων ἀεί.

*ᾨδὴ στ΄. Ἐβόησε προτυπῶν.*

Ἰδόντες σε· ἐναθλοῦντα γενναίως πανεύφημε· οἱ ποθοῦντες· καὶ εὐχόμενοι τοῦ θεάσασθαι· γεγηθότες πάντες· σὲ δοξάζομεν ἔλεγον Κύριε.
Χωρήσαντα· κατὰ σοῦ τὸν πολέμιον τύραννον· ἀπεκρούσω· νοητῶς καὶ φυγάδα πεποίηκας· καὶ αὐτοῦ τὰς ἄρκυς· ἐκφυγὼν ἀνεφάνης ἀνώτερος.
Ἀνέδραμες· τοῦ Χριστοῦ πρὸς τὰ ἄνω βασίλεια· ἐκ τῶν κάτω· καὶ ζωὴν τὴν ἀΐδιον ἔλαβες· ἀφθαρσίᾳ Μάρτυς· καὶ στεφάνῳ τῆς δόξης κοσμούμενος.

Ἡ μνήμη σου· θυμηδίας ἡμῖν πάσης πρόξενος· καὶ ἀπλέτου· εὐφροσύνης αἰτία γνωρίζεται· εὐφημίας ὅθεν· ἐπαξίως ὑπόθεσις γίνεται.

*Θεοτοκίον.*

Λύμης πάσης· καὶ φθορᾶς καὶ παντοίας κακώσεως· ῥυομένη· Θεοτόκε μὴ παύσῃ δεόμεθα· τοὺς πιστῶς ὑμνοῦντας· τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν ἡμῶν.

*Κοντάκιον. Ἦχος β΄. Τοὺς ἀσφαλεῖς.*

Τὸν ἀληθῆ τῆς εὐσεβείας Μάρτυρα· καὶ νικητὴν τοῦ διαβόλου ἄτρεπτον· ἐπαξίως εὐφημήσωμεν· καὶ μακαρίσωμεν δεόμενοι · μὴ παύσῃ ἱκετεύων, πανόλβιε · σωθῆναι τοὺς ὑμνοῦντάς σε.

*Ὁ οἶκος.*

Τοῦτον τὸν νέον Μάρτυρα τοῦ Χριστοῦ· καὶ ζηλωτὴν τῆς ἀληθείας· οἱ πιστοὶ εὐφημήσωμεν· τῷ γὰρ πρὸς αὐτὸν ἔρωτι· καὶ τῷ διαπύρω φίλτρῳ· ἐν τοῖς καθ᾽ ἡμᾶς τούτοις ἐσχάτοις χρόνοις· ἔδωκεν ἑαυτὸν προθύμως εἰς θάνατον· πάντα καταλείψας τὰ τοῦ βίου τερπνά· πρὸς ὃν εἴπωμεν · μὴ παύσῃ ἱκετεύων, πανόλβιε · σωθῆναι τοὺς ὑμνοῦντάς σε.

*Συναξάριον.*

Τῇ 17η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Νεομάρτυρος Μιχαὴλ Μαυροειδῆ, τοῦ Ἀδριανουπολίτου, ξίφει τελειωθέντος ἐν ἔτει 1493.

*Κἂν καὶ Μιχαὴλ τῷ χορῷ τῶν Μαρτύρων·*
*τάττω, τὸ καινὸν οὐχ ὁρῶ καὶ κωλῦον.*
*Φάσγανον πέφνε Μιχαὴλ ἑβδομάτη ἠδὲ δεκάτη.*

*ᾨδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.*

Ἰσχὺν σοι ἄνωθεν Χριστός· καὶ ἀκαταμάχητον· καὶ πανοπλίαν κατ' ἐχθρῶν· τοῦ Σταυροῦ τῇ δυνάμει παρέσχετο· καὶ ἄθλων ἀνεκραύγαζες· Ὁ Θεὸς ὁ τῶν πατέρων· εὐλογητὸς εἶ.

Ὡς ἐραστήν σε τοῦ Χριστοῦ· καὶ ἀκαταγώνιστον ὄντα· καὶ ἀθλητὴν καὶ νικητήν· πονηρὰς ἐπινοίας τοῦ δαίμονος· εὐφημοῦντες κραυγάζομεν· Ὁ Θεὸς ὁ τῶν πατέρων· εὐλογητὸς εἶ.

Ἀπειρηκότες οἱ ἐχθροί· λόγοις ἀπωλείας μὴ πείθοντες· σὲ ἀνελεῖν μανιωδῶς· ἐπεχείρουν τῷ ξίφει μὴ φέροντες· τῆς ψυχῆς σου τὸ εὔτολμον· ὁ Θεός ἀναβοῶντες· εὐλογητὸς εἶ.

Νενικηκέναι οἱ ἐχθροί· ᾤοντο τὴν σὴν καρτερίαν· τὴν σὴν τιμίαν κεφαλήν· ἐκτεμόντες τῷ ξίφει καὶ ἔχαιρον· ἀλλ' αὐτὸς ἀνεκραύγαζες· Ὁ Θεὸς ὁ τῶν πατέρων · εὐλογητὸς εἶ.

Νεανικῶς τὸν δυσμενῆ· καὶ τοὺς ὑπηρέτας ἐκείνου· ὡς καταισχύνων εὐθαρσῶς· τῷ δημίῳ ἐπέτελλες τέμνειν σε· καὶ χαρὰ ἀνεκραύγαζες· Ὁ Θεὸς ὁ τῶν πατέρων· εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ἡ πλατυτέρα οὐρανῶν· καὶ τῶν Σεραφεὶμ ὑπερτέρα· ὡς τὸν ἁπάντων ποιητήν· σαῖς ἀγκάλαις βαστάσασα

ἄχραντε· σῷζε Δέσποινα τοὺς ψάλλοντας· Ὁ Θεὸς ὁ τῶν πατέρων· εὐλογητὸς εἶ.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Στολὴν τὴν τοῦ σώματος οἱ θῆρες· ἀγρίως καὶ ἰταμῶς σου ἀφελόμενοι · γυμνὸν περιάγειν σε· ὥσπερ καταισχύνοντες· τοῖς δημοκοίνοις ἔλεγον· ἐγκελευόμενοι· Τὸν Κύριον ὑμνεῖτε βοῶντα· καὶ ὑπερυψοῦτε· εἰς πάντας τοὺς αἰῶνας.

Γεώδους φρονήματος οὐδόλως· μετέχων τοῦ θείου δὲ ὤφθης καὶ κρείττονος· Ὅθεν καὶ ἐνδέδυσαι· ἀφθαρσίας ἔνδυμα· τοῖς σοῖς τιμίοις αἵμασιν· ἅπερ ἐξέχεας· τὸν Κύριον ὑμνεῖτε κραυγάζων· καὶ ὑπερυψοῦτε· εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. *Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα...*

Ἕλκει τοὺς πιστοὺς πρὸς εὐφημίαν· ὁ Μάρτυς ἀθλήσας ὑπὲρ σοῦ νῦν Δέσποτα· καὶ πρὸς ἀγαλλίασιν· πάντας κοινὴν ἤθροισε· τοῖς θείοις σου προστάγμασιν· ὑποταττόμενος· διὸ ὑμνεῖτε ἐβόα· καὶ ὑπερυψοῦτε· Χριστὸν εἰς τοὺς αἰῶνας.

*Καὶ νῦν. Θεοτοκίον.*

Ῥήσεις προφητῶν σε Θεοτόκε· σαφῶς προεδήλωσαν πᾶσι γενήσεσθαι· μητέρα τοῦ Ποιητοῦ· ὅθεν σε μεσίτριαν· πρὸς τὸν Υἱόν σου ἔχομεν· οἱ σοι προσπίπτοντες· φρούρει τὴν ποίμνην σου Παρθένε· καὶ τὴν σωτηρίαν· πρεσβείαις σαῖς χορήγει.

*Ὠδὴ θ΄. Ἅπας γηγενής.*

Αἴνεσιν Θεῷ· προσέφερες ἄπαυστον· γυμνὸς ἀγόμενος· ταῖς τῶν ἀσεβῶν χερσὶ· τὸν δρόμον μάκαρ τῆς τελειώσεως· ὡς διανύσῃς ἄριστα· τὸν Δεσπότην· βλέπων σοι τὸν στέφανον· ἀοράτως τῆς δόξης δωρούμενον.

Ἴδε εὐπρεπής· ἐγὼ πρὸς τὴν ἄθλησιν· ὁ Μάρτυς ἔλεγε· συνελθόντες τοίνυν ἀπηνεῖς· ἀγρίως δεῦτε διαχειρίσασθε· τῷ γὰρ Χριστῷ μου βούλομαι· καὶ συνεῖναι· καὶ τὸ φῶς τὸ ἄδυτον· τῆς αὐτοῦ βασιλείας τρανῶς καθορᾶν.

Ῥέουσαν ζωήν· ἠλλάξω θεσπέσιε· τῷ θείῳ ἔρωτι· ἐκλιπὼν ἐκείνην γὰρ· ἐδέξω ταύτην τὴν διαμένουσαν· ὡς νουνεχὴς σκεπτόμενος· καὶ ἐχέφρων· τὴν Χριστοῦ οἰκείωσιν· ἀντὶ πάντων σαφῶς προελόμενος.

Ἔβλεπεν αὐτόν· τὸν δήμιον Κύριε· τὸ ξίφος φέροντα· Μάρτυς σὸς ὁ εὐκλεὴς· οὐκ ἐδειλία δὲ τὸ μαρτύριον· ἀποπληρῶν λαμπρᾷ τῇ φωνῇ· τῇ ἐφέσει· τῆς ζωῆς τῆς κρείττονος· σὲ κηρύττων Δεσπότην τῆς κτίσεως.

*Θεοτοκίον.*

Ἴθυνον ἁγνή· πρὸς τρίβους εὐθείας με· καὶ καθοδήγησον· πρὸς ἀπαρτισμὸν ἀεὶ· τῶν ἐντολῶν τοῦ κτίστου μου Δέσποινα· καὶ Υἱοῦ σου· τοῦ ζωὴν αἰώνιον· δι᾽ αὐτῶν χορηγοῦντος τοῖς θέλουσιν.

*Ἐξαποστειλάριον. Ἦχος β΄. Τῶν μαθητῶν ὁρώντων σε.*

Τὴν σταθηράν σου, Μάρτυς, ὁμολογίαν· χοροὶ ὑπερεθαύμασαν τῶν ἀγγέλων· μάρτυρες ἠγάλλοντο,

σὲ στέφοντα· βλέποντες τὸν στεφοδότην Κύριον· ὑπὲρ αὐτοῦ γὰρ ἐνήθλεις· πόθων ζωὴν τὴν ἀγήρω.
*Δόξα. Καὶ νῦν. Θεοτοκίον (ὅμοιον). (Ἐκ τοῦ Μηναίου).*
Ἡμεῖς ἐν σοὶ καυχώμεθα Θεοτόκε· καὶ εἰς Θεὸν σε ἔχομεν προστασίαν· ἔκτεινον τὴν χεῖρά σου τὴν ἄμαχον· καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν· σοῖς ἐξαπόστειλον δοῦλοις · βοήθειαν ἐξ Ἁγίου.

*Εἰς τοὺς Αἴνους. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*
Τῶν ἀσεβούντων ἡ λύσσα· κατὰ σοῦ ζέσασα· πρὸς ἀθεΐαν, Μάρτυς · προσεκάλει βιαίως· πρότερον θωπείαις· πείθουσα σέ· τὸν στεῤῥὸν ὡς ἀδάμαντα· ὃν οὔτε ξίφος, οὐ πῦρ οὐδαμῶς· διασεῖσαι ἠδυνήθησαν. *(Δίς)*
Στίχ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...*
Ἀξιοθαυμαστε Μάρτυς· πάντα κατέβαλες· τὸ τῶν βαρβάρων θράσος· καὶ αὐθάδη μανίαν· ὀφρύν τε τῶν δαιμόνων· καὶ τὴν ἰσχύν· τούτων πάντων ἐπάτησας· ἐνοπτριζόμενος, μάκαρ, Χριστόν · ὃν ἱκέτευε σωθῆναι ἡμᾶς.
Στίχ.: *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...*
Τὴν ἱεράν σου τιμῶντας· Μάρτυς, νῦν ἄθλησιν· καὶ μετὰ προθυμίας· καὶ χαρᾶς ἀνέκφραστου· σὴν μνήμην ἐκτελοῦντας· λύσιν εὑρεῖν· τῶν πταισμάτων ἱκέτευε· ἐν τῇ ἡμέρᾳ Μάρτυς τῇ φοβερᾷ· τὸν Κριτὴν ἐξιλεούμενος.

*Δόξα. Ἦχος δ΄.*

Πόλιν καὶ πατρίδα, Μάρτυς· καταλιπὼν τὴν ἐν γῇ· εὗρες Ἰερουσαλὴμ τὴν ἐν οὐρανοῖς· ἐν ᾗ ἐπεγράφη σου τὸ ὄνομα· τὴν μητέρα πάντων τῶν Μαρτύρων· μεθ΄ ὧν αἰωνίως ἀγαλλόμενος· μνημόνευε καὶ ἡμῶν · τῶν μετὰ πόθου τελούντων· τὴν πανήγυριν τὴν σὴν · Μιχαὴλ ἀξιΰμνητε.

*Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός. (Ἐκ τοῦ Μηναίου).*

Ῥῦσαι ἡμᾶς· ἐκ τῶν ἀναγκῶν ἡμῶν · Μῆτερ Χριστοῦ τοῦ Θεοῦ · ἡ τεκοῦσα· τὸν τῶν ὅλων ποιητήν · ἵνα πάντες κράζωμέν σοι· Χαῖρε , ἡ μόνη· προστασία τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΝ ΤΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Εἰς τοὺς Μακαρισμούς, τὴν γ΄ καὶ στ΄ ᾠδὴ τοῦ κανόνος.

Μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον τοῦ νεομάρτυρος· Δόξα, τὸ ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ ναοῦ· Καὶ νῦν, Κοντάκιον, Προστασία, {ἤ τὸ ὁρισθὲν ὑπὸ τῆς τυπικῆς διατάξεως τοῦ Τριωδίου}.

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ιε΄: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Στίχ.: *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.*

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Κεφ.στ´ 10-17): *Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει…* (Ὅρα είς τὸν Ἀπόστολον, τῇ ΚΖ' Κυριακῇ).

ΕΥΑΓΓΕΛΙΟΝ. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. ιε´ 17-ιστ´ 2): *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε…* (Ὅρα είς τὴν ἑορτὴν τοῦ Ἁγίου Δημητρίου, Ὀκτωβρίου ΚΣΤ).

ΚΟΙΝΩΝΙΚΟΝ: *Είς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.*

*ΜΕΓΑΛΥΝΑΡΙΟΝ. (Ποίημα Ἀργυρίου Παραλικίδη).*

Ἀδριανουπόλεως τὸν πυρσόν· πιστοὶ δεῦτε πάντες· εὐφημήσωμεν εὐλαβῶς· Μιχαὴλ τὸν νέον· Μάρτυρα τοῦ Κυρίου · φωτίζοντα τοὺς νόας· φωτὶ θείας χάριτος.